

ΠΕΤΡΟΥ ΚΑΝΙΣΙΟΥ

Τοῦ τῆς Εταιρείας Ιησοῦ θεολόγου

ΚΑΤΗΧΙΣΜΟΣ ΕΙΚΟΝΙΣΜΕΝΟΣ.

Εν τῇ Αυγούστῃ.

Τῇ τοῦ Αυτοκράτορος προνομίᾳ.

αχιγ'.

ΓΕΩΡΓΙΟΣ ΜΑΡΙΟΣ

ὁ τῆς Εταιρείας Ιησοῦ, τοῖς ἐντυγχάνουσιν εὖ πράττειν.

ΤΗΝ τοῦ Πέτρου Κανισίου τοῦ τῆς Εταιρείας ἡμῶν θεολόγου Κατήχησιν Ρωμαϊκὴν, τῷ τῶν ἐπιστατῶν προστάγματι, πρὸ πολλοῦ ἑλληνιστὶ ἑρμηνεύσας, τὸν πόνον μου, καίπερ ἐλάχιστον ὄντα, οὐ κενὸν ἐν χρείᾳ γενέσθαι, μετ᾽ ὀλίγον ἔγνωκα. τὸ γὰρ βιβλίδιον τόδε οὐ μόνον τῆς ἰδίας τῶν νέων, ἀλλὰ καὶ τῆς δημοσίας χρήσεως τῆς ἐν σχολαῖς ἡμῶν, ἐπέτυχε· νομιζόντων δὴ τῶν γυμνασιάρχων ἡμῶν, σὺν τῇ γνώσει τῶν τῆς

πίστεως καθολικῆς (ἅπερ πάντας εἰδέναι ἐπάναγκες) καὶ τὴν φιλομάθειαν τῶν ἑλληνικῶν γραμμάτων ἐκ ταύτης τῆς ἑρμηνείας πως ἐπιδώσειν, οὐ λίαν μεγάλης χαλεπότητος οὔσης, τοὺς τὰ Ρωμαϊκὰ πρότερον μαθόντας, ταυτὰ καὶ ἑλληνιστὶ μαθεῖν. νυνὶ δὲ τοῦ τοῖς αὐτοῖς μαθηταῖς ἡμῶν χαρίσασθαι, νέαν, καὶ τῆς προτέρας μείζω τὴν ἀφορμὴν λαβέσθαι μοι δοκῶ· καὶ γὰρ τῇ τῶν κυρίων ἡμεδαπῶν τινων θεοσεβεῖ δαψιλείᾳ, εἰκόνες ἐκ τῆς πύξου τῆς Ινδικῆς εἰργάσθησαν, αἵπερ τὰ τῆς ὀρθοδοξίας ἡμῶν κεφάλαια οὐκ ἀπειροκάλως ὑποτυποῦται· τῆς αὐτῶν παρασκευῆς τοσούτῳ χαριεστέρας ἐσομένης, ὅσῳ πλείοσι γλώτταις ἁρμόττειν πεφύκασι, καθάπερ ἤδη ἡ τοῦ αὐτοῦ Πατρὸς Κανισίου Κατήχησις Γερμανική, καὶ Ρω-

μαϊκὴ τὸν δ' ἐλὸν τρόπον εἰκονισμένη οὐκ ἀτυχῶς ἐξεδόθη, εἴ τι ἄρα ἐκ τοῦ τῶν ὠνητῶν πλήθους τεκμαίρεσθαι ἔξεστι. τὸ μὲν οὖν χρέος (ὡς εἰπεῖν) ταῖσδε δυσὶ γλώτταις ἀποτίσας, καὶ τῇ τῶν ἑλλήνων ἐνδόξῳ γλώττῃ, τῇ τὰς ἁπάσας ἐπισήμας, καὶ τὴν τῶν χριστιανῶν θεοσέβειαν μεγάλα καὶ πολλὰ ἀγαθὰ πρόπαλαι ποιησάσῃ ταύτην τὴν ὠφέλειαν, καὶ τὴν χάριν ἀνακοινοῦν ἐπεχείρησα. δῆλον γάρ ἐστιν, ὅτι οἱ τῆς ἐκκλησίας ἑλληνικῆς τῆς πάλαι ἅγιοί τε καὶ θεοδίδακτοι πατέρες, τὰ μὲν ἄλλα τῆς καθολικῆς πίστεως ἄρθρα, οὐχ ἥκιστα δὲ τὸ περὶ τῶν σεβασμίων εἰκόνων βεβαίως ἐδίδαξαν, καὶ ἀνδρικῶς κατὰ τῶν εἰκονομάχων ἤμυναν, ταύτῃ τὴν διδαχὴν, πῇ μὲν τῷ μέλανι, πῇ δὲ τῷ ἰδίῳ αἵματι τοῖς ἔπειτα

σημειωσάμενοι· μηδαμῶς γὰρ ἠγνόουν, ὅτι διὰ τῶν εἰκόνων τάτε τοῦ χριστιανισμοῦ μυστήρια ὡς ἄριστα διαφυλάττεται, καὶ οἱ νέοι καὶ πάντες ἀγράμματοι ὄντες, τὰ τῆς πίστεως, ῥᾷόν τε καὶ ἡδύτερον, μᾶλλον δὲ βεβαιότερον μαθεῖν εἰώθασι. διόπερ ἐλπίζω τοῖς μὲν ἄλλοις ἀλλαχοῦ μαθηταῖς, τοῖς δὲ κἀν αὐτῇ τῇ Ελλάδι εἰς τὰ τῆς Εταιρείας ἡμῶν διδασκαλεῖα νῦν φοιτῶσι τὴν τοῦδε βιβλιδίου νέαν ἔκδοσιν εὐπρόσδεκτον γενήσεσθαι. Εκ τῆς τῶν βινδελικῶν Αυγούστης, εἰδοῖς Σεπτεμβρίαις, ἔτει ἀπὸ τῆς τοῦ Χριστοῦ γεννήσεως ͵αχιγ.

FACVLTAS R.P. PROvincialis Societatis IESV per Superiorem Germaniam.

SAcra Cæs. Maiest. authoritate ac priuilegio nostra Societati pro libris quoque piarum imaginum, & ipsis imaginibus separatim eiusdem studio edendis, 20. Septemb. Anno 1612. Pragæ concesso, ego MELCHIOR HÄRTELIVS *Societatis* IESV *per superiorem Germaniam Præpositus Provincialis, honesto viro Christophoro Mango, Typographo Augustano potestatem facio edendi Catechismum nostri* R. P. PETRI CANISII, *antehac à P.* Georgio *Mayr è Latino Græcè redditũ, nunc vero eiusdem operâ Imaginibus expressum. In cuius rei fidem hoc ei testimonium manu meâ subscriptum, & sigillo munitum dare volui. Augustæ 29. Iulij, Anno 1613.*

Melchior Härtelius.

PETRI

ΠΕΤΡΟΥ ΚΑΝΙΣΙΟΥ
Τοῦ τῆς Εταιρίας Ιησοῦ θεολόγου

ΚΑΤΗΧΙΣΜΟΣ ΚΑΘΟΛΙΚΟΣ.

Κεφάλαιον πρῶτον.

Περὶ τῆς πίστεως, καὶ τοῦ τῆς πίστεως συμβόλου.

Τίνα δεῖ λέγεσθαι Χριστιανὸν καὶ καθολικόν;

Τὸν μυστηρίῳ τοῦ βαπτισμοῦ τετελεσμένον, τήν τε τοῦ Ιησοῦ Χριστοῦ, ἀληθινοῦ Θεοῦ καὶ ἀνθρώπου διδαχὴν σωτήριον ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ ὁμολογοῦντα, καὶ μηδὲ αἱρέσεσι, μηδὲ δόξαις ταῖς ἐκκλησίας τῆς καθολικῆς ἀλλοτρίαις προστιθέμενον.

ΕΙΚΟΝΙΣ-

ΕΙΚΟΝΙΣΜΟΣ ΤΟΥ ΧΡΙΣΤΙΑΝΟΥ Καθολικοῦ.



Οὐχ ἕξει τὸν θεὸν πατέρα, ὁ τὴν Ἐκκλησίαν μητέρα ἔχειν οὐ βουλόμενος.

Πῶς

Πῶς ὑποτυποῦται τὸ τοῦ ἁγίου σταυροῦ σημεῖον;



Τὸ τὴν χεῖρα ἀπὸ τοῦ μετώπου εἰς τὸ στῆθος, καὶ ἀπὸ τοῦ ἀριστεροῦ εἰς τὸν δεξιὸν ὦμον ἄγειν καὶ λέγειν· ἐν τῷ ὀνόματι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος ἁγίου.

Ὑποτυποῦται καὶ τῷ ἀντίχειρι δεξιῷ, ἐν τῷ με✠τώπῳ, ἐν τῷ στό✠ματι καὶ ἐν τῷ στή✠θει, τῶν αὐτῶν ῥημάτων λεγομένων· ἐν τῷ ὀνόματι τοῦ πατρὸς, καὶ τὰ ἑξῆς.

Περὶ

Περὶ τίνων τοπρῶτον οἱ Χριστιανοὶ διδακτέοι εἰσί;

Περὶ τῆς πίστεως, ἐλπίδος, ἀγάπης, μυστηρίων, καὶ κατορθωμάτων τῆς δικαιοσύνης τῆς τῶν Χριστιανῶν.

Τί ἐστιν ἡ πίστις;

Δῶρον καὶ φῶς τοῦ Θεοῦ, ᾧπερ ὁ ἄνθρωπος διαφωτισθεὶς, πᾶσι τοῖς ὑπὸ τοῦ Θεοῦ ἀποκαλυφθεῖσι, καὶ εἰς τὸ πιστεῦσαι ἡμῖν δι' ἐκκλησίας προτεθεῖσι βεβαίως ὁμογνωμονεῖ· εἴτε τάδε γέγραπται, εἴτε μή.

Τί τὸ τῆς πίστεως ἢ πάντων πιστευτέων κεφάλαιον;

Τὸ τῶν Ἀποστόλων σύμβολον εἰς δώδεκα ἄρθρα διῃρημένον.

Τίνα ταῦτα δώδεκα ἄρθρα;

Τάγε δηλαδή.

Πιστεύω

I.



ΠΙστεύω εἰς θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς.

II.



β. Καὶ εἰς Ἰησοῦν Χριστὸν υἱὸν αὐτοῦ ἕνα μόνον κύριον ἡμῶν.

Συλλη-

III.



γ΄. Συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου.

δ΄. Παθόν-

IIII.



δ. Παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα καὶ ταφέντα.

II.



έ. Κατελθόντα εἰς ᾅδου, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν.

ϛ΄. Ανελ-

ΠΙ.



ϛʹ. Ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς παντοκράτορος.

IIII.



ζ΄. Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας, καὶ νεκρούς.

ΠΙΙΙ.



η. Πιστεύω εἰς πνεῦμα ἅγιον.

Π IIII.



θ΄. Ἁγίαν ἐκκλησίαν καθολικὴν, ἁγίων κοινωνίαν.

ι. Ἄφεσιν

Δ.



ι. Αφεσιν ἁμαρτιῶν.

ΔΙ.



ιά. Σαρκὸς ἀνάστασιν.

ιβ. Καὶ

ΔΙΙ.



ιβ΄. Καὶ ζωὴν αἰώνιον, Ἀμήν.

Τί τὸ συμβόλου ἄρθρον πρῶτον ἀποφαίνει,
Πιστεύω εἰς Θεὸν πατέρα;

Μηνύει τὸ πρῶτον τῆς Τριάδος πρόσωπον, τὸν πατέρα δηλονότι τὸν ἐπουράνιον, καὶ αἰώνιον, ᾧτινι μηδὲν ἀδύνατον, ἢ χαλεπὸν ποιεῖσθαι· ὃς τὸν οὐρανὸν, τὴν γῆν, τάτε ὁρατὰ, καὶ ἀόρατα πάντα ἐκ τοῦ μὴ ὄντος κτίσας, τὰ κτισθέντα ἀεὶ συντηρεῖ, καὶ μεγίστῃ χρηστότητι, καὶ σοφίᾳ κυβερνᾷ.

Τί δὲ ἄρθρον τὸ δεύτερον, Καὶ εἰς Ιησοῦν Χριστὸν
υἱὸν αὐτοῦ;

Ὑποσημαίνει τὸ τῆς Τριάδος πρόσωπον δεύτερον, ἤγουν τὸν Ιησοῦν Χριστὸν υἱὸν θεοῦ φυσικὸν, τὸν μονογενῆ, ἀπ' αἰῶνος γεννηθέντα, τῷ πατρὶ ὁμούσιον, κύριον καὶ λυτρωτὴν ἡμῶν τὸν ἀπολωλότας ἡμᾶς ἐλευθερώσαντα.

Τί γε μὴν τὸ τρίτον,
Συλληφθέντα ἐκ πνεύματος ἁγίου;

Προτίθησι τὸ μυστήριον τῆς κυριακῆς σαρκώσεως. ὁ γὰρ αὐτὸς υἱὸς τοῦ Θεοῦ οὐρανόθεν καταβὰς, τὴν μὲν τῶν ἀνθρώπων φύσιν ἀνείληφε, τρόπῳ δὲ παντελῶς ἰδίῳ. τῇ γὰρ τοῦ ἁγίου πνεύματος δυνάμει, ἄνευ πατρὸς συλληφθεὶς, ἐκ Μαρίας τῆς ἀψαύστου παρθένου ἐγεννήθη.

Τί δὲ τὸ τέταρτον.
Παθόντα ἐπὶ Ποντίου Πιλάτου;

Τὸ

Τὸ μυςήειον τῆς τῶν ἀνθρώπων λυτρώσεως διασαφεῖ. Καὶ γὰρ ὁ αὐτὸς ἀληθινὸς ὑὸς τῦ Θεῦ, κατὰ τὴν ἀνθρωπίνην φύσιν τὴν ἀνειλημμένην ἀληθῶς τὰ ἔσχατα πέπονθε, τοῦ ἡμᾶς καὶ πάντας ἁμαρτωλοὺς λυτρωθῆναι. Ὅθεν καίπερ ἀμνὸς ἄμωμος ὢν, ὅμως ἐπὶ Ποντίου ἡγεμόνος ςαυρωθεὶς, ἐν τῷ ςαυρῷ ἀπέθανε, καὶ ὕςερον ἐτάφη.

Τί γε δὴ τὸ πέμπτον,
Κατελθόντα εἰς ᾅδυ;

Περιέχει τὸ μυςήειον τῆς τῦ Χειςῦ ἀναςάσεως. ὃς κατὰ μὲν τὴν ψυχὴν, τὺς πατέρας ἐξ ᾅδυ ἐλευθερώσων κατέβη· τῇ δὲ τρίτῃ ἀπὸ τῦ θανάτυ ἡμέρᾳ τὸ σῶμα ἀναλαβὼν δυνάμει ἰδίᾳ ἀνεβίωσε.

Τί ἕκτον ἄρθρον,
Ἀνελθόντα εἰς ὐρανὺς;

Τὸ μυςήειον τῆς ἐνδόξυ ἀναβάσεως τῦ Χειςῦ ἐνδείκνυται, ὃς μετὰ τὸ ἐμπληρῶσαι τὰ τῆς ἀπολυτρώσεως ἡμῶν, πρὸς τὸν πατέρα ἐκ τῦ κόσμυ μετέβη, καὶ τὺς οὐρανοὺς τῇ δυνάμει αὐτῦ θειαμβευτὴς ὑπερβὰς, ἐν τῇ τῦ πατρὸς δόξῃ αἰδίῳ ἐφ᾽ ἅπαντα καθιδρύνθη.

Τί τὸ ἕβδομον,
Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρὺς;

Τὴν τελευταίαν τῆς κρίσεως ἡμέραν δηλοῖ, ᾗ ὁ Χειςὸς ἐν τῇ ἀνθρωπίνῃ σαρκὶ ὁρατὸς πάλιν ἀπὸ τῦ ὐρανοῦ

καταβήσεται, πάντας τούς τε ἀγαθοὺς, καὶ πονηροὺς φοβερῶς κρινῶν, καὶ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ἀποδώσων.

Τί δὲ τὸ ὄγδοον,
Πιστεύω εἰς πνεῦμα ἅγιον;

Τὸ τρίτον τῆς Τριάδος πρόσωπον, τὸ πνεῦμα τὸ ἅγιον παρίστησιν, ὃ ἐκ τοῦ πατρὸς καὶ υἱοῦ ἐκπορευόμενον, εἷς ἀληθινὸς, καὶ ἀΐδιος θεός ἐστι, καὶ βασιλεύει μετὰ τοῦ πατρὸς καὶ υἱοῦ, καὶ διὰ τοῦτο ἀμφοτέρῳ συμπροσκυνεῖται καὶ συνδοξάζεται.

Τί τὸ ἔννατον ἄρθρον,
Ἁγίαν ἐκκλησίαν καθολικήν;

Περὶ τῆς ἐκκλησίας τέσσαρα πιστευτέα ἡμᾶς διδάσκει. τὸ πρῶτον μὲν, ὅτι ἡ ἐκκλησία μία ἐστὶν, ἐν ἑνὶ δήπου πνεύματι τοῦ Χριστοῦ Ιησοῦ, ἐν μιᾷ πίστει, καὶ τῇ τῆς πίστεως καὶ τῶν μυστηρίων διδαχῇ, ἐν μιᾷ κεφαλῇ, καὶ διοικητῇ τῆς οἰκουμενικῆς ἐκκλησίας, ἤγουν τῷ τοῦ Χριστοῦ τοποτηρητῇ, καὶ τοῦ ἁγίου Πέτρου διαδόχῳ· δεύτερον δὲ, ὅτι ἡ αὐτὴ Ἐκκλησία ἁγία ἐστὶν, ἐπειδήπερ τῇ μὲν ὑπὸ τοῦ Χριστοῦ κεφαλῆς τε καὶ νυμφίου ὄντος, διὰ τὴν πίστιν, καὶ τὰ μυστήρια αὐτῷ συνημμένη ἁγιάζεται, τῇ δὲ ὑπὸ τοῦ πνεύματος ἁγίου ἀϊδίως κυβερνᾶται. τρίτον δὲ, ὅτι ἡ αὐτὴ ἐστι καθολικὴ, ἤτοι οἰκουμενικὴ, εἰς πᾶσαν τὴν γῆν διασπαρεῖσα, καὶ πάντας τοῦ Χριστοῦ πιστοὺς ἐν πᾶσι τοῖς χρόνοις περιέχουσα. τέταρτον δὲ καὶ τελευταῖον, ὅτι ἐν τῇ αὐτῇ ἐκκλησίᾳ ἡ τῶν ἁγίων ἐστὶ κοινωνία, μὴ μόνον δήπου τῶν πιστῶν τῶν ἐν τῇ γῇ ἐκδημούντων, ἀλλὰ καὶ τῶν τελευτησάντων, οἵτινες εἴτε ἐν τοῖς

οὐρανοῖς βασιλεύουσιν, εἴτε ἐκεῖ βασιλεύσοντες ἐν τῷ πυρὶ καθαρτηρείῳ ἀπὸ κηλῖδος τῶν ἁμαρτημάτων αὐτῶν καθαίρονται. οὗτοι γοῦν ὥσπερ τὰ μέλη ἑνὸς σώματος ταῖς ἀμοιβαίαις εὐεργεσίαις καὶ ἀξίαις, καὶ εὐχαῖς ἀλλήλοις βοηθοῦσι, καὶ τῆς ἐνεργείας τῆς ἐκ παναγίου λειτουργίας, καὶ τῶν τῆς ἐκκλησίας μυστηρίων μετέχουσι.

Τί γε μὴν τὸ δέκατον,
Ἄφεσιν ἁμαρτιῶν;

Τὴν τοῦ Θεοῦ χάριν πρόχειρον πᾶσι τοῖς ἁμαρτωλοῖς ἀποφαίνει, ὥστε μηδένα ποτὲ τῆς τῶν ἁμαρτημάτων αὐτοῦ ἀφέσεως ἀπογινώσκειν, εἴπερ τῇ ἐκκλησίᾳ καθολικῇ συμμένων διατελεῖ, καὶ τοῖς αὐτῆς μυστηρίοις δεόντως προσφέρεται.

Τί δὲ τὸ ἑνδέκατον,
Σαρκὸς ἀνάστασιν;

Τὴν πάντων τῶν τεθνηκότων ἀναβίωσιν, καὶ τὴν τῆς κρίσεως τελευταίαν ἡμέραν διαβεβαιοῦται. Ἅπαντες γὰρ ἐν τῇ σαρκὶ ἀναζήσαντες φανερωθησόμεθα ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε κακόν.

Τί εἰς τέλος, τὸ ὕστατον ἄρθρον,
Καὶ ζωὴν αἰώνιον;

Τὸ τῆς πίστεως καὶ ἀρετῆς τῶν Χριστιανῶν ἔπαθλον, τὴν μακαρίαν ἀθανασίαν ἐπιδείκνυσι, ὥστε πάντας ἀκριβῶς εἰδέναι, ὅτι ἄλλος βίος μετὰ τοῦτον περιγίνεται, πάνυ διάφορος, καὶ ἀληθῶς ἀσφαλὴς, μακάριος καὶ ἀΐδιος ὢν, τοῖς πιστεύουσι, καὶ πειθομένοις τῷ Χριστῷ παρασκευασθείς.

Τίς

Τίς ἐστι πάντων τῶν τοῦ συμβόλου ἄρθρων ἀνακεφαλαίωσις;



Τῇ καρδίᾳ καὶ τῷ στόματι ὁμολογῶ κύριον τὸν θεὸν, οὗτινος μηδὲν ἢ μεῖζον, ἢ σοφώτερον, ἢ κρεῖττον ἐπινοεῖσθαι ἐνδέχεται, καὶ τόνδε τῇ μὲν οὐσίᾳ ἤτοι φύσει θεϊκῇ ἕνα, τρισυπόστατον δὲ εἶναι, τὸν πατέρα δηλονότι, καὶ

τὸν

τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἵνα οὗτοι οἱ τρεῖς ἓν ὦσιν, εἷς, ἀληθινὸς, αἰώνιος, ἀμέτρητος, καὶ ἀκατάληπτος θεὸς, ἐξ οὗ, δι' οὗ, καὶ εἰς ὃν πάντα ἐστίν. Ὁ πατήρ ἐστι δημιουργὸς ἁπάντων, ὁ υἱὸς λυτρωτὴς τῶν ἀνθρώπων, τὸ πνεῦμα τὸ ἅγιον τῆς ἐκκλησίας, ἢ τῶν τοῦ Χριστοῦ πιστῶν ἁγιαστὴς, καὶ κυβερνήτης. Διό τῇδε τῇ ἁγιωτάτῃ, καὶ ἀδιαιρέτῳ τριάδι τὰ τοῦ συμβόλου μέρη τρία ἐξαίρετα συναρμόττει. τὸ μὲν πρῶτον, τὸ περὶ τῆς κτίσεως, τῷ πατρὶ, τὸ δὲ δεύτερον, τὸ περὶ τῆς ἀπολυτρώσεως, τῷ υἱῷ· τὸ δὲ τρίτον τὸ περὶ τοῦ ἁγιασμοῦ, τῷ ἁγίῳ πνεύματι ἀπονέμεται.

Τί ἐστιν ἡ ἐκκλησία;

Ὁ πάντων τῶν τοῦ Χριστοῦ πίστιν τε, καὶ διδαχὴν ὁμολογούντων, σύλλογος, ὁ ὑπὸ μιᾶς μετὰ τὸν Χριστὸν, καὶ ὑψίστης κεφαλῆς, καὶ ποιμένος ἐν τῇ γῇ κυβερνώμενος.

Τίνες τῆς ἐκκλησίας πάντως ἀλλότριοι ὄντες τυγχάνουσι;

Πρῶτον μὲν οἱ Ἰουδαῖοι, καὶ ἄπιστοι πάντες, καὶ οἱ τῆς πίστεως ἀποστάται. ἔπειτα οἱ αἱρετικοὶ, οἱ μετὰ τὸ βαπτισθῆναι αὐτοὺς, κατὰ τῆς καθολικῆς πίστεως ἰσχυρογνωμόνως τῇ κακοδοξίᾳ συνηγοροῦντες. πρὸς τούτοις οἱ σχισματικοὶ οἱ τῆς εἰρήνης, καὶ καθολικῆς ἑνώσεως αὐτοὺς χωρίζοντες. Τέλος δὲ οἱ τῆς τῶν ἁγίων κοινωνίας, καὶ τῶν μυστηρίων μεθέξεως, τῆς δεήσεως τῆς ἐκκλησίας, καὶ θεϊκῶν ἱερουργιῶν, τῇ ἐκκλησιαστικῇ ἐξουσίᾳ

νομίμως ἀποκεκλεισμένοι· διὸ καὶ ἀφορισθέντες λέγονται. οἵτινες πάντες τοῦ σώματος τοῦ Χριστοῦ, ὅ,τι ἡ ἐκκλησία ἐστὶ, κεχωρισμένοι, καὶ ἀλλότριοί εἰσι, καὶ διὰ τοῦτο τῆς μὲν ζωῆς τῆς πνευματικῆς, καὶ σωτηρείας ἀμέτοχοι, τῷ δὲ Σατανᾷ καὶ αἰδίῳ θανάτῳ, ἐὰν μὴ μετανοήσωσιν, ἐνεχόμενοι διατελοῦσι. καὶ πάντας μὲν τούτους φευκτέον τοῖς καθολικοῖς, μάλιστα δὲ τοὺς αἱρετικοὺς καὶ σχισματικοὺς, οὐχ ἧττον τῆς λοιμικῆς νόσου, εὐλαβητέον καὶ βδελλυκτέον.

Τίς τὸ τελευταῖον ἁπλοῦς, βραχὺς, καὶ ὀρθὸς κανὼν ὅπερ οἱ καθολικοὶ καὶ αἱρετικοὶ διακρίνονται.

Τὸ τὴν τοῦ Χριστοῦ πίστιν, καὶ τὴν τῆς ἐκκλησίας αὐθεντίαν ὁλόκληρον ὁμολογεῖν, καὶ τὰ τοῖς καθολικῆς ἐκκλησίας ποιμέσι τε καὶ διδασκάλοις εἰς τὸ πιστεύειν ἐψηφισμένα κυρίως καὶ βεβαίως διαφυλάττειν. Καὶ μὴν ἐάν τις τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι, φησὶν αὐτὸς ὁ Χριστὸς, ὥσπερ ὁ ἐθνικὸς καὶ τελώνης. οὐ γὰρ ἕξει πατέρα τὸν θεὸν, ὁ τὴν ἐκκλησίαν μητέρα ἔχειν οὐ βουλόμενος.

Κεφά-

Κεφάλαιον δεύτερον.

Περὶ τῆς ἐλπίδος, καὶ τῆς προσευχῆς κυριακῆς.

Τί ἐστιν ἡ ἐλπίς;

Ἀρετὴ θεόθεν ἐγχυθεῖσα, δι' ἣν βεβαίᾳ πεποιθήσει τὰ τῆς σωτηρίας ἡμῶν, καὶ τὰ τῆς αἰωνίου ζωῆς ἀγαθὰ προσδοκᾶται.

Πόθεν τὸν τρόπον τοῦ εὖ ἐλπίζειν καὶ αἰτεῖν μανθάνομεν;

Ἐκ τῆς προσευχῆς κυριακῆς, ἣν ὁ Χριστὸς αὐτὸς κύριος καὶ διδάσκαλος ἡμῶν τῷ στόματι αὐτοῦ παναγίῳ παρέδωκε καὶ προὔγραψε.

Διέξιθι μερικῶς τὴν εὐχὴν κυριακήν;

Πρώτη δέησις.



α. ΠΑτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου.

Δευτέρα.

Δευτέρα.



ϛ. Ελθέτω ἡ βασιλεία σου.

Τρίτη.



γ΄. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

Τετάρ-

Τετάρτη.



δ. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

Πέμπτη.



έ. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Ἕκτη.



ϛ'. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἑβδόμη.



ζ'. Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, Ἀμήν.

Ποῖον

Ποῖον ἔχει νόημα ἡ τῆς προσευχῆς ἀρχή,
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς;

Προοιμίδιόν ἐστι τὸ ἀναμιμνῆσκον ἡμᾶς τοῦ μεγίστου εὐεργετήματος, ὥπερ ὁ Θεὸς Πατὴρ διὰ τοῦ Χριστοῦ ἡμᾶς εἰσεποιήσατο υἱοὺς, καὶ κληρονόμους κατέστησε. Καὶ δὴ τῷδε τῷ ἡδεῖ τοῦ πατρὸς ὀνόματι ἅμα μὲν πρὸς τὸ ἀντιφιλεῖν, ἅμα δὲ πρὸς τὸ μεγάλῃ τῇ πεποιθήσει αἰτεῖν παροξυνόμεθα.

Τί τὸ πρῶτον αἴτημα ἐξηγεῖται,
Ἁγιασθήτω τὸ ὄνομά σου;

Τὴν τῶν ἀγαθῶν υἱῶν ἐπιθυμίαν δικαίαν τε καὶ ἐλευθέραν, οἵτινες ἀεὶ καὶ πανταχοῦ δέονται ἐν αὐτοῖς τε κἀν τοῖς ἄλλοις αὔξεσθαι τὴν γνῶσιν, τὸν φόβον, τὴν τιμὴν, τὴν ἀγάπην, καὶ τὴν λατρείαν τῆς μεγαλειότητος τῆς αἰωνίου, καὶ ἐπὶ τέλει, ὅ, τι ἂν εἰς τὴν τοῦ ὑψίστου, καὶ βελτίστου πατρὸς δόξαν συντείνῃ.

Τί τῷ δευτέρῳ αἰτήματι αἰτούμεθα,
Ἐλθέτω ἡ βασιλεία σου;

Τὴν τῆς ἐπουρανίου βασιλείας καὶ αἰωνίου μακαρισμοῦ δόξαν ἡμῖν αἰτοῦμεν δωρηθῆναι, ἵνα ταχέως τῷ Χριστῷ εἰς αἰῶνα συμβασιλεύωμεν.

Τί τῷ τρίτῳ,
Γενηθήτω τὸ θέλημά σου;

Τὴν τοῦ Θεοῦ χάριν ἡμῖν παρεῖναι αἰτοῦμεν, τοῦ τὸ θέλημα τοῦ πατρὸς ἐν τῇ γῇ, καθάπερ οἱ μακάριοι πάντες ἐν τῷ οὐρανῷ ποιοῦσιν, εἰλικρινῶς, προθύμως καὶ εὐσταθῶς ἀποπληρῶσαι.

Τί τῷ τετάρτῳ,

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον;

Χορηγεῖσθαι ἡμῖν τὰ πρὸς τὸ τὸν εἴτε σώματος εἴτε ψυχῆς βίον περιέπειν καὶ διασώζειν φέροντα αἰτοῦμεν, ἤγουν διατροφὴν καὶ σκεπάσματα, τὸν τοῦ Θεοῦ λόγον, καὶ τὰ τῆς ἐκκλησίας μυστήρια.

Τί τῷ πέμπτῳ,

Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν;

Τὴν συγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν αἰτοῦμεν ὑπάρχοντες ἕτοιμοι ἐξ ἀμοιβῆς τοῖς ἄλλοις τὰ εἰς ἡμᾶς ἡμαρτημένα ἀφιέναι.

Τί τῷ ἕκτῳ,

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν;

Ἐν τηλικαύτῃ τοῦ βίου ἀσθενείᾳ, τῇ θεϊκῇ δυνάμει στηρίζεσθαι, καὶ πρὸς τὸν κόσμον, τὴν σάρκα, τὸν δαίμονα ἐπαμύνεσθαι αἰτοῦμεν, τοῦ μὴ ὁπωσδήποτε, τοῦ πειρασμοῦ ἡττηθέντας τῇ ἁμαρτίᾳ ὁμογνωμονεῖν.

Τί τῷ ἑβδόμῳ καὶ ὑστάτῳ αἰτήματι,

Ἀλλὰ ῥῦσαι ὑμᾶς ἀπὸ τοῦ πονηροῦ;

Τὴν τοῦ Θεοῦ χρηστότητα αἰτοῦμεν, ἥπερ ἂν αὐτὸς ἡμᾶς ἐκσώζοι καὶ ἐλευθερώσῃ τῆς ταλαιπωρίας τοῦ σώματός τε καὶ τῆς ψυχῆς, εἴ τε ἐν τῷ παρόντι βίῳ, ὅσον ἐν τῇ σωτηρίᾳ ἡμῶν συμφέρῃ, εἴτε καὶ ἐν τῷ μέλλοντι. καὶ προστίθεται Ἀμὴν, τοῦτ' ἔστι, γένοιτο, ἢ γενήσεται, ὅπως τὴν ἐλπίδα καὶ τὴν ἐπιθυμίαν, τοῦ τὰ ἐν τοῖσδε τοῖς αἰτήμασιν ἑπτὰ περιεχόμενα λαβεῖν, δηλώσωμεν.

Τί τὸ κεφάλαιον τῶν προτέρων τῆσδε τῆς προσευχῆς αἰτημάτων;

Τὰ τῶν προτέρων τέσσαρα, ἅτινα τῶν ἀγαθῶν ἐνταῦθα δεῖ ἐλπίζειν καὶ ἀξιοῦν, ἐπιδείκνυσιν· ὧν πρῶτον μὲν καὶ μέγιςόν ἐςιν ἡ τῆς τοῦ Θεοῦ μεγαλειότητος τιμὴ καὶ δόξα. ταύτῃ ἡ εὐδαιμονία ἡμῶν, καὶ ἡ ὑπακοὴ ἡ ὀφειλομένη τῷ Θεῷ ἕπεται. τελευταῖον δὲ ἡ τοῦ σώματος καὶ τῆς ψυχῆς τροφὴ ἀναγκαία. καὶ ταῦτα κεφαλαιωδῶς ἐν τοῖς προτέροις τέσσαρσι περιλαμβάνεται.

Τί τῶν λοιπῶν αἰτημάτων κεφάλαιον;

Τὰ λοιπὰ τρία περιέχει κακὰ τὰ ἀπευκτέα, τὰς ἁμαρτίας δηλονότι, τὰς τῆς βασιλείας τοῦ Θεοῦ ἡμᾶς ἀποκλειούσας· εἶτα τοὺς πειρασμοὺς τοὺς τῇ αὐτῶν βίᾳ, ἂν μὴ τῇ τοῦ Θεοῦ βοηθείᾳ σκεπασθῶμεν, εἰς τὸ ἁμαρτεῖν ἡμᾶς καθέλκοντας. τέλος δὲ, τὰς τῆσδε καὶ μελλούσης ζωῆς συμφοράς. ἡ μὲν οὖν προσευχὴ κυριακὴ ἅμα μὲν τὰ ἀγαθὰ αἰτεῖν, ἅμα δὲ τὰ κακὰ ἀπεύχεσθαι διδάσκει.

Πῶς ἀγορεύεις τὸν τοῦ ἀγγέλου ἀσπασμὸν τῇ μητροπαρθένῳ;



Χαῖρε Μαρία κεχαριτωμένη, ὁ κύριος μετά σου, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου Ἰησοῦς.

Ἁγία Μαρία μῆτερ τοῦ Θεοῦ προσεύχου ὑπὲρ ἡμῶν



ἁμαρτωλῶν, νῦν καὶ ἐν ὥρᾳ τοῦ θανάτου ἡμῶν, Ἀμήν.

Πόθεν ὅδε ὁ τρόπος τὴν θεοτόκον παρθένον ἀσπάζεσθαι ἤρξατο;

Πρῶτον μὲν ἀπὸ τοῦ παραδείγματος τοῦ ἀγγέλου Γαβριὴλ, καὶ τῆς ἁγίας Ελισάβετ· μετὰ ταῦτα δὲ ἐκ τῆς χρήσεως καὶ ὁμονοίας τῆς καθολικῆς ἐκκλησίας.

Τίς γε μὴν ὠφέλεια τοῦδε τοῦ ἀσπασμοῦ;

Ὁ μὲν τὴν τῆς παναγίου παρθένου, καὶ τῆς κυριακῆς σαρκώσεως μνήμην χαρίεσσάν τε καὶ σωτηρίαν ἡμῖν ἀνανεοῦται. ἐπὶ δὲ τούτοις τὴν εὔνοιαν τῆς κεχαριτωμένης παρθένου καὶ τὴν ἔντευξιν τὴν παρὰ τῷ θεῷ ἡμῖν ἀνακτήσασθαι προτρέπει.

Τί ἐκ τοῦ ἀσπασμοῦ μανθάνομεν;

Τὰς χάριτας καὶ τοὺς ἐξαιρέτους ἐπαίνους τῆς ἀπαραβλήτου παρθένου, ἤγουν τῆς τῶν τοῦ Θεοῦ δώρων καὶ ἀρετῶν μεγίστων μεστῆς, τῆς αὐτῆς μητρὸς καὶ παρθένου οὔσης, τῆς ἐν πάσαις γυναιξὶ πάντων χρόνων εὐλογημένης· τῆς τοῦ βασιλέως τῶν βασιλέων τοῦ Χριστοῦ Θεοῦ καὶ κυρίου ἡμῶν μητρὸς, καὶ διὰ τοῦτο εὑρετίδος τῆς χάριτος, καὶ γενετείρας τῆς ζωῆς ἡμῖν γενομένης.

Κεφάλαιον τρίτον.

Περὶ τῆς ἀγάπης, καὶ τῆς δεκαλόγου.

Τί ἐστιν ἡ ἀγάπη;

Αρετὴ ἡ θεόθεν ἐγχυθεῖσα, ᾗ ὁ θεὸς δι' αὐτὸν, ὁ δὲ πλησίον διὰ τὸν θεὸν ἀγαπᾶται.

Πόσαι αἱ τῆς ἀγάπης ἐντολαί;

Δύο ἐξαίρετοι. Αγαπήσεις κύριον τὸν θεόν σου, ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δὲ ὁμοία αὐτῇ, Αγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Εν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

Τίνι τεκμηρίῳ ἡ πρὸς τὸν θεὸν ἀγάπη ἐπιγινώσκεται;

Εἰ τὰς ἐντολὰς αὐτοῦ τηρεῖς. αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. καὶ ὁ Χριστὸς αὐτὸς διδάσκει, Ο ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με.

Πῶς

Πῶς ἐπιδείκνυται καὶ γνωρίζεται ἡ ἀγάπη ἡ πρὸς τὸν πλησίον;

Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται. ἡ ἀγάπη οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ. Πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει.

Διὰ τί αἱ τῆς δεκαλόγου ἐντολαὶ προστίθενται;

Καίπερ δύο τῆς ἀγάπης ἐντολῶν οὐσῶν, αἷς τὸ τοῦ νόμου πλήρωμα περιέχεται, αἱ δὲ ὅμως τῆς δεκαλόγου ἐντολαὶ διὰ τοῦτο συνάπτονται, ὥστε πάντας τὰ πρὸς τὴν τοῦ Θεοῦ καὶ τοῦ πλησίον ἀγάπην συντείνοντα, σαφέστερον καταμαθεῖν.

Τίνες εἰσὶν αἱ τῆς δεκαλόγου ἐντολαί;

α'. Ἐγὼ

I.



α. Ἐγώ εἰμι κύριος ὁ θεός σου, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πρὸ προσώπου μου· οὐ ποιήσεις σεαυτῷ εἴδωλον, τοῦ προσκυνῆσαι αὐτῷ.

β΄. Οὐ

II.

Οὐ λήψῃ τὸ ὄνομα τοῦ κυρίου Θεοῦ σου ἐπὶ ματαίῳ.



οὐ γὰρ μὴ καθαρίσῃ κύριος ὁ θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα κυρίου τοῦ Θεοῦ ἐπὶ ματαίῳ.

Μνήσθη-

III.



Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν.

IIII.



Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα μακρο-
χρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δώ-
σει σοι.

Οἱ

Π.



Οὐ φονεύσεις.

Π I.



Οὐ μοιχεύσεις.

Οὐ

IIII.



Οὐ κλέψεις.

ΠΙΙΙ.



Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Οὐκ

ΠΙΙΙΙ.



Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου.

Δ.



Οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν, οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν
παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐ-
τοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σου ἐστί.

Τίνα

Τίνα γοῦν ἔχει ἡ πρώτη ἐντολή,
Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι;

ΤΗν εἰδωλολατρείαν, τὴν μαγικὴν ἢ μαντικὴν, τὰς δεισιδαιμονίας, τέλος δὲ πᾶσαν τὴν ἀσεβῆ παρατήρησιν ἀπαγορεύει καὶ ἀναθεματίζει· τοὐναντίον δὲ ἕνα τὸν θεὸν βέλτιστον καὶ μέγιστον πιστεύειν, θεραπεύειν καὶ ἐπικαλεῖν ἡμῖν προστάττει.

Ἆρ' οὖν ἔξεστι τοὺς ἁγίους σέβεσθαι καὶ ἐπικαλεῖν;

Ἔξεστι δὴ, ἀλλ' οὐ μὲν τῷ τρόπῳ, ᾧ τὸν θεὸν σέβεσθαι καὶ ἐπικαλεῖν κελευόμεθα, ὥσπερανεὶ κτιστὴν καὶ λυτρωτὴν καὶ δοτῆρα πάντων ἀγαθῶν, πολλῷ δὲ ἥττονι ἀξιώματι, ἤγουν ὡς θεοφιλεστάτους, καὶ τοὺς παρὰ τῷ θεῷ μεσίτας ἡμῶν καὶ συνηγόρους.

Πότερον ἡ χρῆσις τῶν εἰκόνων τοῦ Χριστοῦ καὶ τῶν ἁγίων τῇ ἐντολῇ τῇδε ἐναντιοῦται;

Μηδαμῶς· ταύτῃ γὰρ ἐντολῇ, Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, παράγγελμα ἡ αἰτία προστίθεται, Τοῦ προσκυνῆσαι αὐτῷ, κατὰ τὸ εἰωθὸς τοῖς ἔθνεσιν, ἅτινα τὰ τῶν ψευδῶν θεῶν ἀγάλματα καθιστᾶσι, καὶ τὰ εἴδωλα αὐτῶν ἀσεβῶς θεραπεύουσιν. Ἀλλὰ μὴν ἡμεῖς ἐν ταῖς εἰκόσι, τὸν χριστὸν καὶ τοὺς ἁγίους τοὺς ἐμφαινομένους, τῷ εὐσεβεῖ καὶ παρὰ τῶν προγόνων παραδοθέντι τρόπῳ διὰ τιμῆς ἄγομεν.

Τί δευτέρα ἀπαγορεύει,
Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ;

Διακωλύει τὴν κατάχρησιν καὶ τὴν ἀτιμίαν τοῦ ὀνόματος τοῦ Θεοῦ, ἥπερ οἱ ἐπίορκοι, οἱ τὸν Θεὸν, τοὺς ἁγίους, ἢ τῶν κτίσεών τινα, ἄνευ δικαίας προφάσεως, ψευδῶς, καὶ ἀτίμως ὀμνύοντες, ἔνοχοί εἰσι.

Τί τρίτη προστάττει.
Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων, τοῦ ἁγιάζειν αὐτήν;

Τὸ Σάββατον, ἢ τὴν ἑορτὴν ἐν τῇ ἐκκλησίᾳ εὐσεβῶς ἄγεσθαι κελεύει, τῷ ἐπιφοιτᾷν δηλονότι τῷ ἱερῷ, καὶ τῷ τῆς λειτουργίας ἀκούειν. πονεῖν δὲ τούτῳ χρόνῳ, καὶ περὶ τὰ τῶν δούλων ἀσχολεῖσθαι, παντελῶς κωλύει.

Τί κελεύει ἡ τετάρτη.
Τίμα τὸν πατέρα καὶ τὴν μητέρα;

Τοὺς μετὰ τὸν Θεὸν τῆς ζωῆς ἡμῶν αἰτίους ὄντας αἰδεῖσθαι, καὶ τῆς ὑπεισθείας, βοηθείας, τέλος δὲ πάσης θεραπείας τοὺς αὐτοὺς ἀξιοῦν. εἶτα τοὺς ἐν ἀρχαῖς πολιτικαῖς ἢ ἐκκλησιαστικαῖς ὄντας ἐν γονέων μέρει τιθέναι, τοῖς αὐτῶν ἐπιτάγμασιν ἀσμένως πείθεσθαι, καὶ τὴν ἐξουσίαν καὶ αὐθεντίαν αἰσχύνεσθαι.

Πῶς τὴν ἐξουσίαν καὶ τὴν αὐθεντίαν τὴν ἐκκλησιαστικὴν αἰδεσόμεθα;

Ταῖς δήπου ἁγίαις καὶ οἰκουμενικαῖς Συνόδοις, τοῖς τῶν ἀποστόλων καὶ πατέρων διδάγμασι καὶ ψηφίσμασιν ἀναλεχθεῖσι, τοῖς τῶν προγόνων δοκιμασθεῖσιν ἔθεσιν,

ἁπλῶς

ἁπλῶς δὲ τοῖς ὑπερτάτοις τῆς ἐκκλησίας ποιμέσι καὶ ἀρχιερεῦσιν, ἐξαιρέτως καὶ κατὰ τὸ προσῆκον, θεραπείαν, καὶ ὑπακοὴν παρέχοντες. Διόπερ οἱ τὰ μὲν πρὸς τὸν θεὸν καὶ τὰ τῆς ἐκκλησίας νομοθετήματα, καὶ τὰς τελετὰς καταλύοντες, καὶ καθυβρίζοντες, τὰς δὲ Συνόδους καὶ ἀρχιερεῖς διαβάλλοντες, πρὸς καὶ εἰς τὰ τῶν ἱερέων προνόμια καὶ τοὺς νεὼς ἐφορμώμενοι, καὶ τὰ ἱερὰ βεβηλοῦντες, ὡς μάλιστα ἁμαρτάνουσι.

Τίς ἐστιν ἡ ἔννοια τῆς πέμπτης ἐντολῆς,
Οὐ φονεύσεις;

Κωλύει τὴν βίαν τὴν ἔξω, τὸν φόνον, καὶ πᾶσαν τὴν ἀδικίαν τὴν πρὸς τὸ σῶμα καὶ τὸν βίον τοῦ πλησίον. προσέτι τὴν ὀργὴν, τὸ μῖσος, τὴν μνησικακίαν, τὴν ἀγανάκτησιν, καὶ πάντα τὰ πάθη εἰς τὸ τὸν πλησίον βλάπτειν ὁπηδήποτε φέροντα ἀπείργει, καὶ παντάπασιν ἀναιρεῖ.

Τί ἀπαγορεύει ἡ ἕκτη,
Οὐ μοιχεύσεις;

Τὴν πορνείαν, τὴν μοιχείαν, καὶ τὰς αἰσχρὰς καὶ παρανόμους μίξεις· ἔτι δὲ πᾶν ὅ,τι ἂν τῷ καλῷ, τῇ αἰσχύνῃ, καὶ τῇ γνησίᾳ αἰδοῖ ἐναντιώσηται· Καὶ γὰρ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.

Τί τῇ ἑβδόμῃ κωλύεται,
Οὐ κλέψεις;

Πᾶσα ἡ τοῦ ἀλλοτρίου κτήματος ψηλάφησις καὶ

χρῆσις.

χρῆσις, ὁποία ἔνεστι τῇ κλοπῇ, τῇ ἁρπαγῇ, τῷ τόκῳ, τοῖς ἀδίκοις κέρδεσιν, τοῖς κακοῖς δόλοις καὶ συναλλάγμασι παρανόμοις· εἰς τέλος, ἅπασιν ἀνταλλάγμασι καὶ διανομαῖς, αἷσπερ ἡ τῶν Χριστιανῶν ἀγάπη βλάπτεται, καὶ ὁ πλησίον ἐξαπατᾶται.

Τί τῇ ὀγδόῃ περιλαμβάνεται,
Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ;

Ἡ ψευδομαρτυρία, ἡ ψευδολογία, ἡ ἐπιορκία, καὶ πᾶσα ἡ τῆς γλώττης πρὸς τὸν πλησίον κατάχρησις ἀπαγορεύεται, κατὰ τὸ εἰωθὸς τοῖς ψιθύροις, καταλάλοις, λοιδόροις, κόλαξι, ψευδολόγοις καὶ ψευδόρκοις.

Τί αἱ δύο ἔσχαται,
Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα, οὔτε ὅσα τῷ πλησίον σου ἐστί;

Τῆς γυναικὸς καὶ ἄλλου ὁτουοῦν τοῦ ἀλλοτρίου ἐπιθυμεῖν κωλύει. τὸ γὰρ ἀλλότριον ὄν, οὐχ ὅπως ἀδίκως καὶ κατὰ τὸ δοκοῦν ἡμῖν ἰδιοποιεῖσθαι, ἀλλ' οὐδὲ τῷ θελήματι εἰς τὸ ὀρέγεσθαι αὐτοῦ ὁρμᾶσθαι ἔξεσι, τοὺ τοῖς ὑπάρχουσιν ἡμῶν ἀγαπῶντας ἄνευ φθόνου, ζήλου καὶ ἐπιθυμίας τὸν βίον διάγειν.

Τί τὸ κεφάλαιον, καὶ τίς ὁ σκοπὸς τῶν τῆς δεκαλόγου ἐντολῶν;

Τὸ τὸν θεὸν δήπου καὶ τὸν πλησίον εἰλικρινῶς ἀγαπᾶσθαι, οὗτινος ὁ τῆς δεκαλόγου εἰς δύο πλάκας διορισμὸς τῷ θεῷ ποιηθεὶς σύμβολόν ἐστι, καὶ ἐν μὲν τῇ προτέρᾳ πλακὶ τρία τῶν πρὸς τὸ ἀγαπᾷν τὸν θεόν, διδάσκεται· ἐν δὲ τῇ δευτέρᾳ ἑπτά, τὰ εἰς τὸ τὸν πλησίον φιλεῖν φέροντα δηλοῦται.

Πῶς αἱ τῆς πρώτης πλακὸς ἐντολαὶ τὴν ἀγάπην τοῦ Θεοῦ διδάσκουσι;

Ὅτι τὰς μὲν ἁμαρτίας τὰς τῷ θεραπεύειν καὶ σέβεσθαι τὸν Θεὸν ὡς μάλιστα ἐναντίας ἀναιροῦσι καὶ ἀπαγορεύουσιν· ἤγουν τὴν εἰδωλολατρείαν, τὴν ἀποστασίαν, τὴν αἵρεσιν, τὴν ἐπιορκίαν, τὰς δεισιδαιμονίας. τὴν δὲ ἀληθῆ καὶ καθαρὰν θεραπείαν τοῦ Θεοῦ τῷ σώματι, τῇ καρδίᾳ τε καὶ τῷ ἔργῳ παρέχεσθαι προστάττουσι. Τούτου γὰρ γινομένου, μόνος ἄρα ὁ ἀληθινὸς Θεὸς τῇ λατρείᾳ θεραπεύεται καὶ προσκυνεῖται.

Πῶς αἱ τῆς δευτέρας πλακὸς ἐντολαὶ τὴν ἀγάπην τοῦ πλησίον δηλοῦσι;

Τῷ τὴν ὑπηρεσίαν ἡμῶν τὴν τῷ πλησίον ἐφεξῆς περιέχειν· ἤγουν ἵνα μὴ μόνον τοὺς πατέρας ἡμῶν τιμῶμεν, ἀλλὰ καὶ τῷ ἔργῳ, τῷ λόγῳ, τῷ θελήματι πάντας ὠφελεῖν, καὶ μηδένα βλάπτειν πειρώμεθα, εἴτε τὸ σῶμα τοῦ πλησίον, εἴτε τις τῶν συζύγων, εἴτε τὰ τῆς τύχης σκοπεῖται.

Τί ἐστι κεφάλαιον τῶν ἐντολῶν τοῦ ἀγαπᾷν τὸν πλησίον;

Τόδε δηλαδή, ὅ,τι πάσχειν ὑφ᾽ ἑτέρου μὴ θέλεις, τοῦτο τοῖς ἄλλοις μὴ ποίει. πάντα δὲ ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. τοῦτο γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Πότερον ἄλλα πλὴν τὰ τῆς δεκαλόγου ἐντάλματα ὄντα τυγχάνει;

Παντάπασι μὲν οὖν, καὶ μὴ ὅτι χρήσιμα, ἀλλ᾽ ἀναγκαῖα τηρεῖσθαι, τὰ δήπου τῆς ἐκκλησίας ἐντάλματα, ᾗ καθάπερ τῇ ἁγιωτάτῃ μητρὶ καὶ τῇ τοῦ Χριστοῦ νύμφῃ πάντας καθολικοὺς δεῖ πειθαρχεῖν, καὶ τὸν νοῦν προσέχειν.

Πόσα

Πόσα τὰ τῆς ἐκκλησίας ἐντάλματα;

Πέντε ἐξαίρετα ἀριθμεῖται.



I.

Τὰς τῆς ἐκκλησίας ἑορτὰς τεταγμένας ἄγε.

Τὸν

II.



Τὴν ἁγίαν λειτουργίαν ταῖς ἑορτασίμοις ἡμέραις εὐλαβῶς ἄκουε.

Τὰς

III.



Τὰς νηστείας ἐν διωρισμέναις ἡμέραις παραγγελθείσας, καὶ τὴν τῶν βρωμάτων τινῶν ἀποχὴν συντήρει.

IIII. & II.

Τὰς ἁμαρτίας σου ἰδίῳ ἱερεῖ, ἢ ἄλλῳ σὺν ἐξουσίᾳ



αὐτοῦ κατ' ἐνιαυτὸν ἐξομολογοῦ.

Τὴν πανάγιον εὐχαριστίαν τοὐλάχιστον ἅπαξ ἐν ἔτει περί γε τὴν τοῦ πάσχα ἑορτὴν δέχου.

Η'. Δὲ τούτων ἐνταλμάτων τήρησις ὁποίαν ὄνησιν ἔχει;

Ταῦτα καὶ ὅσα ἄλλα τούτοις ὅμοια, τῆς ἐκκλησίας τὰ ἐπιτηδεύματα καὶ ἐντάλματα, πρῶτον μὲν τὴν πίστιν, τὴν ταπείνωσιν, καὶ τὴν ὑπακοὴν τῶν Χριστιανῶν ἀσκεῖ· εἶτα τὰ πρὸς τὸν θεόν, τὴν πολιτείαν τὴν κοινήν, καὶ τὴν δημοσίαν ἡσυχίαν σώζει, διατηρεῖ, κοσμεῖ, καὶ εἰς τὸ πρεπόντως καὶ εὐτάκτως πάντα ἐν τῇ ἐκκλησίᾳ συντελεῖσθαι ὡς μάλιστα συμβάλλεται. πρὸς δὲ τούτοις, ταῦτα ἐξ ἀγάπης τηροῦντες, τῆς ζωῆς αἰωνίου ἀξιούμεθα.

Κεφάλαιον τέταρτον.

Περὶ τῶν μυστηρίων.

Τί ἐστι μυστήριον;

Τὸ τῆς ἀοράτου χάριτος σύμβολον ὁρατὸν, εἰς ἁγιασμὸν ἡμῶν, θεοπαράδοτον. Ἄλλο μὲν γὰρ τὸ ἐν μυστηρίῳ ὁρώμενον, ἄλλο τὸ λαμβανόμενόν ἐστι. τὸ σύμβολον μὲν τὸ ἔξω ὁρῶμεν, τὴν δὲ κρυφαίαν καὶ πνευματικὴν χάριν, τὴν τοῦ μυστηρίου Ἀποτέλεσμα καλουμένην, λαμβάνομεν.

Πόσα ἐστὶ τὰ μυστήρια;

Ἑπτὰ, τὰ ὑπὸ Χριστοῦ τοῦ κυρίου συντεταγμένα, πρὸς τῶν Ἀποστόλων παραδεδομένα, καὶ ἐν τῇ ἐκκλησίᾳ καθολικῇ ἀεὶ διαφυλαχθέντα εἰς ἡμᾶς διέμεινε.

Καὶ δὴ ταῦτά ἐστι:

I.



ὁ βαπτισμός.

ὁ σφρα-

II.



ὁ Σφραγισμός.

III.



ἡ εὐχαριστία.

ἡ μετα-

IIII.



ἡ μετάνοια.

Π.



ἡ τελευταία χρίσις.

ΠΙ.



ἡ χειροτονία.

ΠΙΙ.



ἡ συζυγία.

Τίνος ἕνεκα δεῖ τὰ μυστήρια σέβεσθαι, καὶ περὶ πλείστου ποιεῖσθαι;

Πρῶτον μὲν ὅτι ὑπὸ τοῦ Θεοῦ καὶ Χριστοῦ κυρίου ἐν τῇ καινῇ διαθήκῃ συνετάχθησαν. εἶτα ὅτι τὴν τοῦ Θεοῦ χάριν ἀναγκαίαν καὶ ὡς ἀφθονωτάτην οὐ μόνον δηλοῦσιν, ἀλλὰ καὶ ὥσπερ σκεύη τινὰ ἅγια τοῦ θεϊκοῦ πνεύματος συνέχοντα τοῖς νομίμως δεχομένοις παρέχουσιν. ἔτι δὲ, ὅτι τῶν ἁμαρτιῶν ἀλεξιφάρμακα ἢ θεῖα ἰάματα τοῦ Σαμαρείτου ἡμῶν ὄντα τυγχάνουσιν. εἰς τέλος, ὅτι τοῖς ἀγαθοῖς τοῖς κεχαριτωμένοις τὴν χάριν διαφυλάττουσιν, αὐξάνουσι, καὶ πλείω ποιοῦσι.

Διὰ τί τελεταὶ σεμναὶ καὶ ἐκκλησιαστικαὶ τοῖς μυστηρίοις παραζεύγνυνται;

Πολλῶν δὴ καὶ μεγάλων αἰτιῶν ἕνεκα. Πρῶτον μὲν, ὥστε τὴν τῶν μυστηρίων διακονίαν θεωροῦντας ὑπαναμιμνήσκεσθαι μηδὲν μὲν ἐνταῦθα τῶν βεβήλων, ἄρρητα δὲ καὶ πλήρη τῶν θείων μυστηρίων, καὶ τὴν ἐξαίρετον εὐλάβειαν ἀπαιτοῦντα διαπράττεσθαι. ἔπειτα, ὅπως ἡ τῶν τοῖς μυστηρίοις προσεγγιζόντων θεραπεία ἡ εἴσω αὐξηθῇ, ἣν ὁ θεὸς μάλιστα ἐπιποθῶν τυγχάνει, καὶ ἧσπερ ὡς σύμβολα, μαρτύρια καὶ ἀσκήματα αἱ τελεταί εἰσιν. ἔτι δὲ ἵνα οἱ διακονοῦντες τὰ μυστήρια σὺν ἀξίᾳ καὶ ὠφελείᾳ μείζονι τὴν θεραπείαν αὐτῶν ἐπιτελέσωσι, τῶν ἐθῶν δήπου τῆς πάλαι ἐκκλησίας, καὶ τῶν ἰχνῶν τῶν πατέρων ἁγίων πιστῶς ἐχόμενοι. Πρόδηλον

γὰρ

γάρ ἐστιν ὅτι ἐξ αὐτῶν ἔτι ἀποστόλων, τῶνδε τελετῶν πλεῖσαι ἀδιαλείπτῳ τῆς διαδοχῆς εἱρμῷ εἰς ἡμᾶς ἐν τῇ ἐκκλησίᾳ διέμειναν. τὸ τελευταῖον ταῖς δὲ ἡ εὐσχήμων καὶ θεοσεβὴς πολιτεία τηρεῖται, ταῖς δὲ ἡ πάνδημος ἡσυχία σώζεται, ἢ πολλάκις τῇ τῶν θεσμῶν ἔξω μεταβολῇ, ἢ καινοποιήσει δεινῶς διαταράττεται.

Τί ἐστιν ὁ βαπτισμός;

Τὸ πρῶτον καὶ ἀναγκαιότατον τῆς καινῆς διαθήκης μυστήριον, τὸ ἅπαξ ἐν ὕδατι διδόμενον. ᾧπερ πνευματικῶς ἀναγεννώμεθα, καὶ τῆς τῶν ἁμαρτημάτων ἀφέσεως ὅλως ἐπιτυχόντες, υἱοὶ τοῦ Θεοῦ εἰσποιούμεθα, καὶ εἰς τοὺς τῆς ζωῆς ἐπουρανίου κληρονόμους ἐγγραφόμεθα.

Τί ἐστιν ὁ σφραγισμός;

Τὸ τοῖς βαπτισθεῖσι παρὰ τοῦ ἐπισκόπου δωρηθὲν μυστήριον, ἐν ᾧ δι' ἁγίου χρίσματος καὶ τῶν παναγίων ῥημάτων ἡ χάρις δίδοται, καὶ ἡ τοῦ ἁγίου πνεύματος ῥώμη προστίθεται ἅμα μὲν εἰς τὸ βεβαίως πιστεύειν, ἅμα δὲ εἰς τὸ τοὔνομα τοῦ κυρίου, ἀνάγκης γινομένης, παῤῥησιαστικῶς ὁμολογεῖσθαι.

Πόσα τῆς περὶ εὐχαριστίας διδαχῆς κυριώτατα κεφάλαια, ἃ εἰδέναι ἀνάγκη;

Πέντε· τὸ μὲν πρῶτον, ἡ ἀλήθεια αὐτῆς· τὸ δὲ δεύτερον, ἡ τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς τὸ τοῦ Χριστοῦ σῶμα καὶ αἷμα μεταποίησις. τὸ δὲ τρίτον, ἡ ὀφειλομένη προσκύνησις· τὸ δὲ τέταρτον, ἡ αὐτῆς προσφορά· τὸ δὲ πέμπτον καὶ ὕστατον, ἡ τοῦ αὐτοῦ μυστηρίου κοινωνία.

Τίς ἐστι ἡ ἀλήθεια τοῦ τῆς εὐχαριστίας μυστηρίου;

Ἤδε δήπου, τὸν Χριστὸν ἀληθινὸν Θεὸν καὶ ἄνθρωπον ἀληθῶς καὶ τελείως ἐν τῷδε τῷ μυστηρίῳ χαρεῖσθαι, καὶ ἡμῖν παρεῖναι, τοῦ ἱερέως τοῦ νομίμως χειροτονηθέντος τὸν ἄρτον καὶ τὸν οἶνον τοῖς ῥήμασι τοῖς μυστικοῖς, καὶ παρὰ τοῦ Χριστοῦ παραδεδομένοις εὐλογήσαντος.

Τίς γίνεται μεταποίησις δι' ἐκείνων ῥημάτων, οἷς ὁ ἱερεὺς τόδε μυστήριον εὐλογεῖ;

Αὕτη γε, ὅπως διὰ τῶνδε τῶν ῥημάτων, τοῦ Χριστοῦ ἐνεργοῦντος, ὁ ἄρτος καὶ οἶνος εἰς σῶμα καὶ αἷμα κυριακὸν κατ' οὐσίαν μεταποιῶνται, καὶ οὕτως ὁ ἄρτος καὶ οἶνος ἐν τῇ εὐχαριστίᾳ οἴχωνται.

Ποία προσκύνησις τούτῳ μυστηρίῳ προσήκει;

Ἡ αὐτὴ δηλονότι ἡ τῷ Χριστῷ κυρίῳ καὶ Θεῷ αἰωνίῳ προσήκουσα, ὅνπερ δὴ ὧδε παρόντα ἐπιγινώσκομεν. Καὶ διὰ τοῦτο τῇ τοῦ σώματός τε καὶ τῆς ψυχῆς θεραπείᾳ εὐσεβεῖ, ὡς εἰκός, τόδε τὸ μυστήριον ἱκετεύοντες σεβόμεθα.

Τίνος χάριν τοῦτο μυστήριον προσφορὰ νομίζεται;

Ὅτι ἡ τῆς καινῆς διαθήκης θυσία καὶ προσφορὰ καθαρά ἐστι, τὰς τοῦ Ἰουδαϊκοῦ νόμου σὺν αἵματι θυσίας ἡ ἀναίμακτος διαδεχομένη, καὶ ὑπὲρ τῶν ζώντων καὶ θανόντων πιστῶν τοῦ Χριστοῦ ἐν τῇ λειτουργίᾳ προσαγομένη καὶ συντελουμένη. Καὶ διόπερ μὴ μόνον ἡ εὐχαριστία ὑπὸ τοῦ λαοῦ πιστοῦ λαμβάνεται, ἀλλὰ καὶ ὑπὸ τῶν ἁμαρτιῶν ὑπὸ τῶν ἱερέων εἰς τὴν τοῦ κυριακοῦ πάθους καὶ

θανά-

θανάτου συνεχῆ ἀνάμνησιν καθ' ἑκάστην θύεται, καὶ ἀεὶ ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ προσηνέχθη.

Τί ἐν τῇ κοινωνίᾳ τούτου μυστηρίου χρὴ τηρεῖσθαι;

Τὸ τῇ πίστει καὶ τῇ αὐθεντίᾳ τῆς ἁγίας μητρὸς τῆς ἐκκλησίας διδασκόμενον, ἤγουν τῷ τῶν Χριστιανῶν λαῷ ἀρκεῖν ἐν ἑνὶ εἴδει τοῦ ἄρτου τέλειον Χριστὸν λαμβάνειν, καὶ τὸ ταύτης τῆς κοινωνίας ἀκόλουθον, τὸν μὴ ἀναξίως προσφερόμενον τῆς παμμεγέθους χάριτος τοῦ Θεοῦ καὶ τῆς ζωῆς αἰωνίου ἐπιτυχεῖν, ὃς ἀληθής τε καὶ ὁλόκληρος τούτου μυστηρίου καρπός ἐστι· καὶ τοσούτῳ ἐνεργέστερος γίνεται, ὅσῳ πλεονάκις ἥδε ἁγία καὶ σωτηριώδης κοινωνία κατ' ἀξίαν ἀναλαμβάνεται.

Τί ἐστιν ἡ μετάνοια;

Ἡ δευτέρα μετὰ τὴν ναυαγίαν σανὶς, καὶ ἀναγκαῖον μυστήριον τοῖς μεταπεσοῦσιν. ἐν ᾧ ἡ τῶν ἁμαρτιῶν ἄφεσις ὑπὸ τῶν ἐνόχων αἰτεῖται, καὶ παρὰ τῶν ἱερέων δίδοται.

Πόσα μέρη καὶ πράξεις τῆς μετανοίας;

Τρεῖς, ἡ σύντριψις, ἢ ἡ ἀλγηδὼν τῆς ψυχῆς τῆς τὰ αὐτῆς ἁμαρτήματα βδελυττομένης, καὶ τὸν βίον βελτίω οἰκονομεῖν ἐπιθυμούσης. Ἡ ἐξομολόγησις, ἢ τῶν αὐτοῦ ἁμαρτιῶν ἐναντίον τοῦ ἱερέως ἐξαγόρευσις. Τέλος δὲ ἡ ἱκανοποιΐα, ἢ τιμωρεία καὶ κόλασις τῶν πλημμελιῶν παρ' αὐτοῦ ληφθεῖσα, εἰς τὸ τοὺς καρποὺς ἱκανοὺς τῆς μετανοίας ποιεῖσθαι.

Τί ἡ τελευταία χρῖσις;

Μυστή-

Μυστήριον, ᾧ οἱ νοσοῦντες δι' ἁγίου ἐλαίου καὶ τῶν ῥημάτων τοῦ Χριστοῦ ἐν δεινοῖς τῆς νόσου παθήμασι κουφίζονται, τοῦ εὐδαιμονέστερον αὐτοὺς τελευτῆσαι, καὶ τὰ σώματα, ἐὰν οὕτω συμφέρῃ, ἀναῤῥωσθῆναι.

Τί ἡ χειροτονία;

Μυστήριον, ᾧ τοῖς ἱερεῦσι καὶ τοῖς ἄλλοις τοῖς ἐκκλησίας λειτουργοῖς ἡ ἐξουσία δίδοται, τοῦ τὰς ἐκκλησιαστικὰς ὑπηρεσίας νομίμως καὶ πρεπόντως συντελέσαι.

Τί τὸ τελευταῖόν ἐστιν ἡ συζυγία;

Μυστήριον, ἐν ᾧ ὁ ἀνὴρ καὶ ἡ γυνὴ ἐννόμως τὸν γάμον συνάπτοντες ἀδιάλυτον τὴν τοῦ βίου κοινωνίαν ποιοῦσι, καὶ τῆς χάριτος τοῦ Θεοῦ ἐγκρατεῖς γίνονται, ἵνα οἱ μὲν παῖδες καλῶς καὶ Χριστιανικῶς γεννῶνται, καὶ ἐκτρέφωνται, τὸ δὲ τῆς αἰσχρᾶς ἀσελγείας καὶ ἀκρατείας ἁμάρτημα ἀπείργηται.

Ἆρά γε τὰ μυστήρια ἀλλήλων διαφέρει;

Πολὺ δήπου, ὁ γὰρ βαπτισμὸς, ὁ σφραγισμὸς, καὶ ἡ χειροτονία, ἅπαξ δωρηθέντα μηδεπώποτε ὁμοίως τοῖς ἄλλοις ἀναλαμβάνεται. ἔτι δὲ ὁ μὲν βαπτισμὸς πᾶσιν, ἡ δ' εὐχαριστία τοῖς τῷ λόγῳ χρωμένοις· ἡ μετάνοια τοῖς μεταπεσοῦσιν ἀναγκαία ἐστίν. Αἱ θαίρετον δὲ τὸ τοῖς ἄλλοις προσφέρεσθαι, εἰ μόνον μηδενὸς καταφρονεῖς, μηδ' ἐν τῷ τοῦ χρῆσθαι αὐτοῖς χρόνῳ, ἀμελεῖς.

Κεφά-

Κεφάλαιον πέμπτον.

Περὶ τῶν κατορθωμάτων τῆς δικαιοσύνης τῶν Χριστιανῶν.

Πόσα ἐστὶ κατορθώματα τῆς τῶν Χριστιανῶν δικαιοσύνης.

Δύο τάδε, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, ἢ τὸ κατόρθωμα τῆς δικαιοσύνης.

Πῶς οἷός τε γίνεται ὁ ἄνθρωπος τὴν μὲν ἁμαρτίαν φυλάττεσθαι, ποιεῖν δὲ τἀγαθὸν, ἢ τὴν δικαιοσύνην ἀσκῆσαι;

Οὐ μὲν καθ' ἑαυτὸν, ἀλλὰ τῇ τοῦ Χριστοῦ χάριτί τε καὶ πνεύματι ὁ Χριστιανὸς παρεσκευασμένος, δύναται καὶ ὀφείλει (ἐφ' ὅσον μὲν ἡ τοῦδε τοῦ βίου κατάστασις συγχωρεῖ) δικαίως ζῆν, καὶ τὸν νόμον πληροῦν.

Ποσαπλάσιον τὸ ἁμάρτημα;

Διπλάσιον, ἀρχέγονον καὶ πρακτικόν.

Τί τὸ ἀρχέγονον;

Ὅπερ ἐκ γενέσεως ἡμῖν συμπεφυκὸς διὰ τοῦ βαπτισμοῦ ἐν Χριστῷ ἀφίεται.

Τί τὸ πρακτικόν;

Ῥῆμα, πρᾶξις, ἢ ἐπιθυμία κατὰ τοῦ νόμου ἢ παρὰ τὸν νόμον τοῦ Θεοῦ ἤτοι τῆς ἐκκλησίας.

Ποσα-

Διπλάσιον· τὸ θανάσιμον, οὕτω καλούμενον, ὅτι παραχρῆμα τὴν ψυχὴν θανατοῖ. ἡ γὰρ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται. Καὶ τὸ συγγνωςὸν, τὸ δήπου ῥαδίως τῆς συγγνώμης τυγχάνον, καὶ ἄνευ οὗ μηδὲ οἱ δίκαιοι διάγουσι.

Πόσαις κλίμαξιν εἰς τὸ ἁμαρτάνειν ἐπαγόμεθα;

Ταῖς τεισὶ ταύταις, τῇ ὑποβολῇ, τῇ τέρψει, τῇ συνευδοκήσει, ἢ τῷ ἐγνωσμένῳ θελήματι τοῦ ἁμαρτάνειν.

Τί τὸ ἄκρον τῶν ἁμαρτανόντων;

Τὸ εἰδότας καὶ ἑκόντας παντελεῖ πονηείᾳ ἁμαρτάνειν, τῇ ἁμαρτίᾳ ἐπαυχεῖν, τοῖς εὖ νουθετοῦσιν ἀπειθεῖν, καὶ τὸ τῶν σωτηριωδῶν συμβουλῶν παντάπασιν καταφρονεῖν.

Διὰ τί τὸ ἁμάρτημα φευκτέον;

Ὅτι κυρίῳ τῷ θεῷ προσκρούει, τῶν ἀγαθῶν πέρας ἀφαιρεῖται, καὶ τὸ κάκιςον τῷ ἁμαρτάνοντι ἐπιφέρει· τὴν μὲν τοῦ Θεοῦ ἀπόλαυσιν, ἣν οὐχ οἷόν τ' ἀναλαβεῖν, ἀφανίζον, τὰς δὲ τιμωρείας καὶ συμφορὰς ἀϊδίους τῷ ἀνθρώπῳ ἐπάγον.

Τίνα λέγεται ἁμαρτήματα κεφαλικά;

Τάδε ἐξ ὧν ὥσπερ κεφαλῶν καὶ πηγῶν πάντα τἆλλα ἁμαρτήματα γίνεται.

Πόσα τὰ ἁμαρτήματα κεφαλικά;

Ἑπτὰ,

I.



Ὑπερηφάνεια.

Πλεονε-

II.



Πλεονεξία.

III.



Ἀσέλγεια.

Φθόνος.

IIII.



Φθόνος.

V.



Γαστριμαργία.

ΠΙ.



Ὀργή.

ΠΙΙ.



Ἀχηδία.

Πῶς

Πῶς ταῦτα τὰ ἁμαρτήματα εὐλαβεῖσθαι καὶ νικᾶν ἐνδέχεται;

Εἰ τὴν αὐτῶν βλάβην τε, καὶ τοὺς κινδύνους σκοποῦντες, καὶ τὰς ἀρετὰς ἑπτὰ ταύταις ἁμαρτίαις ἐναντίας ἀσκοῦντες τῇ τοῦ Χριστοῦ χάριτι συνεργοῦμεν.

Τίνες ἀρεταὶ τοῖς κεφαλικοῖς ἁμαρτήμασιν ἐναντιοῦνται;

Ἡ ταπεινότης, ἐλευθεριότης, ἁγνεία, χρηστότης, σωφροσύνη, ὑπομονή, καὶ ἐπιμελὴς θεοσέβεια.

Τίνα ἁμαρτήματα κατὰ τοῦ ἁγίου πνεύματος γίνεσθαι λέγεται;

Τὰ οὕτω τὴν τοῦ Θεοῦ χάριν, τῇ πονηρίᾳ αὐτῶν, ἀποκλείοντα, ὥστε μήτ᾽ ἐν τούτῳ, μήτ᾽ ἐν τῷ μέλλοντι αἰῶνι, εἰ μὴ πάνυ δυσκόλως, ἀφεθῆναι.

Πόσα ἁμαρτίματα τὰ κατὰ τοῦ ἁγίου πνεύματος;

Ἕξ.

I.



Πρόληψις περὶ τοῦ ἐλέους τοῦ Θεοῦ, ἢ περὶ τῆς ἀδείας τοῦ ἁμαρτεῖν.

Ἀπό-

II.



Απόγνωσις.

Αντί-

III.



Ἀντιμάχησις πρὸς τὴν ἐγνωσμένην ἀλήθειαν.

φθόρος

IIII.



Φθόνος τοῦ τὸν ἀδελφὸν εἶναι θεοφιλῆ.

Σκληρο-

Π.



Σκληροκαρδία.

Αμετα-

ΠΙ.



Αμετανοησία.

Πόσα

Τίνα ἁμαρτήματα εἰς τὸν οὐρανὸν ἀναβοᾶν λέγεται;

Τὰ καθ᾽ ἑαυτὰ μάλιστα βδελυκτὰ, καὶ φανερῶς τὰ τῆς φιλανθρωπίας δίκαια παραβαίνοντα, ὅθεν καὶ τὴν ἐκδίκησιν ἀναβοᾶν λέγεται, καὶ πολλάκις ἐν τῇδε τῇ ζωῇ φοβερῶς θεόθεν κολάζεται.

Πόσα ἁμαρτήματα τὰ εἰς τὸν οὐρανὸν ἀναβοῶντα;

Τάδε τέσσαρα.


Ανθρω-

I.



Ανθρωποκτονία ἑκούσιος.

II.



Αμαρτία τῶν Σοδομιτῶν.

Κάκω-

III.



Κάκωσις τῶν πενήτων, χήρων, καὶ ὀρφανῶν.

IIII.



Ο μισθὸς τῶν ἐργατῶν ἀποστερηθείς.

Τίνα

Τίνα ἁμαρτήματα ἀλλότρια λέγεται;

Τὰ μὲν τοῖς ἄλλοις πραττόμενα, ἡμῖν δὲ τούτων αἰτίοις, ἢ ὁπωσοῦν συνεργοῖς, ἤγε δὴ οὐκ ἐμποδὼν γινομένοις, ἀνατιθέμενα.

Ποσαχῶς τὰ ἀλλότρια ἁμαρτήματα ἡμῖν ἀνατίθεται;

Ἐννεαχῶς.

I.



Συμβυλία.

Επιτά-

11.



Ἐπιτάγματι.

III.



Συγκαταθέσει.

Προκλή-

IIII.



Προκλήσει.

Π.



Επαινέσει ἡ κολακεία.

Τῆς

ΠΙ.



Τῆς ἀλλοτρίας αἰτίας ἀποσιωπήσει.

Παρα-

ΠΙΙ.



Παροράσει, ἢ Συγχωρήσει.


ΠΙΙΙ.



Τῇ τοῦ ἀλλοτρίου μετοχῇ.

Τῆς

ΙΔ.



Τῆς ἀλλοτρίας πράξεως ἀπολογία κακή.

Τίνα

Τίνα τῆς σαρκὸς ἔργα λέγεται;

Τὰ τοῖς ἀνθρώποις τοῖς κατὰ τὴν σάρκα ζῶσι, καὶ τῶν υἱῶν τοῦ Θεοῦ πνευματικῶν ἐξαλλάττουσι πραττόμενα.

Τίνα τὰ τῆς σαρκὸς ἔργα;

Ταῦτα ὁ Παῦλος οὕτως ἀπαριθμεῖται· φανερά ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, Μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.

Πότερον τὸ κακὸν φεύγειν, καὶ τὴν ἁμαρτίαν ἐκκλίνειν τῷ Χριστιανῷ ἐξαρκεῖ;

Μηδαμῶς, ἀλλὰ πρὸς τούτοις δεῖ τὸ καλὸν ποιεῖν, καὶ τὰς ἀρετὰς ἀσκεῖν. εἰ δὲ μήγε, τῷ εἰδότι καλὸν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστι.

Τί καλὸν δεῖ ποιεῖν τὸν Χριστιανόν;

Γενικῶς μὲν πᾶν ὅ,τι ὁ νόμος φυσικὸς, θεῖος, ἢ ἀνθρώπειος προστάττει ἤτοι ἐπιδείκνυσιν· εἰδικῶς δὲ χρὴ ἕκαστον κατὰ τὴν κλῆσιν αὐτοῦ τὰ δέοντα πράττειν, καὶ τῇ τοῦ Θεοῦ χάριτι ληφθείσῃ εὐχαριστοῦντα συνεργεῖν. Πᾶν γὰρ δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

Τίνα

Τίνα τῶν καλῶν ἔργων γένη ἔξοχα;

Τάδε οἷς σωφρόνως, δικαίως καὶ εὐσεβῶς ζῶμεν ἐν τῷ νυνὶ αἰῶνι, καὶ δι' ὧν ὡσαύτως οἱ δίκαιοι ἐπιπλεῖον δικαιοῦνται, καὶ οἱ ἅγιοι καθ' ἑκάστην ἁγιάζονται.


Ποσαπλάσια τάδε τὰ γένη τῶν καλῶν ἔργων;

Τριπλάσια.

Ἤγουν,

Ἡ νηστεία.

I.



Ἡ νηστεία.

Η Ἡ ἐλεη-

11.



Η ἐλεημοσύνη.

Περὶ

III.



Προσευχή.

περὶ ὧν οὕτως ἀναγινώσκοντες τυγχάνομεν· Ἀγαθὸν προσευχὴ μετὰ νηστείας, καὶ ἐλεημοσύνης.

Τίς καρπὸς τῶν καλῶν ἔργων;

Τὴν τῆς ζωῆς τῆς νῦν, καὶ τῆς αἰωνίου ἐπαγγελίαν, καὶ μισθὸν ἔχουσι, τὸν Θεὸν ἱλάσκουσι, τὴν χάριν διαφυλάττουσι καὶ αὐξάνουσιν· εἰς τέλος, τὴν τοῦ Χριστιανοῦ κλῆσιν βεβαίαν ποιοῦσι, καὶ τελειοῦσι.

Τί ἐστιν ἡ νηστεία;

Τὸ ἐν ῥηταῖς ἡμέραις κατ' ἔθος, καὶ ἐπιταγὴν τῆς ἐκκλησίας τῶν κρεῶν ἀπέχεσθαι, καὶ τῇ ἡμέρᾳ μόνον μιᾷ βρώσει ἀγαπῶντα ἐγκρατέστερον διάγειν· Τῷ δὲ τοὔνομα γενικῶς λαβόντι ἡ νηστεία ἐστὶ, τὸ τοῦ σώματος κόλασμα τὸ εὐσεβῶς ἀναληφθὲν, τοῦ τὴν σάρκα τῷ πνεύματι ὑποτάσσεσθαι, ἢ τὴν ὑπακοὴν ἀσκεῖσθαι, ἢ τὴν τοῦ Θεοῦ χάριν ἡμῖν παραγίνεσθαι.

Τί ἡ εὐχή;

Ἡ τῆς ψυχῆς πρὸς τὸν Θεὸν ἄρσις, δι' ἧς τὰ κακὰ ἀπευχόμεθα, ἢ τὰ ἀγαθὰ ἡμῖν, καὶ τοῖς ἄλλοις αἰτοῦμεν, ἢ τὸν Θεὸν εὐλογοῦμεν.

Τί ἐστιν ἐλεημοσύνη;

Εὐεργέτημα, ὧπερ ἄλλῳ ταλαιπωροῦντι συμπάσχοντες ἐπικουροῦμεν.

Ποσαπλάσιόν ἐστι τὸ γένος τοῦ ἐλέους;

Διπλάσιον, τὰ μὲν γὰρ τοῦ ἐλέους ἔργα σωματικὰ, τὰ δὲ πνευματικὰ, ὅτι ἢ πρὸς τὸ τὴν σωματικὴν ταλαιπωρίαν, ἢ πνευματικὴν τοῦ πλησίον κουφίσαι φέρουσι.

Πόσα

Πόσα ἔργα σωματικὰ τοῦ ἐλέους;

Επτά. I.



Σιτίζειν πεινῶντας.

II.



Ποτίζειν διψῶντας.

III.



Περιβάλλειν γυμνούς.


IIII.



Λυτροῦν αἰχμαλώτυς.

Ἐπισκέ-

Π.



Ἐπισκέψασθαι ἀσθενεῖς.

ΠΙ.



Συνάγειν ξένους.

Θάλπειν

Π 11.



Θάπτειν θανόντας.

Πόσα

Πόσα ἔργα πνευματικὰ τῆς ἐλέους;

Καὶ ταῦτα ἑπτά ἐστιν;



I. Ελέγχειν ἁμαρτάνοντας.

Διδάσκειν

II.



Διδάσκειν ἀμαθεῖς.

III.



Εὖ συμβουλεύειν τοῖς ἀμηχανοῦσι.

Προσεύ-

IIII.



Προσεύχεσθαι τῷ θεῷ ὑπὲρ τῆς σωτηρίας τοῦ πλησίον.

Παρα-

Π.



Παρακαλεῖν λυπηρούς.

III.



Καρτερεῖν τῆς ἀδικίας.

Π I I.



Προσκόμμα ἀφιέναι.

Τίνες

Τίνες αἱ ἀρεταὶ πασῶν ἐξοχώταται;

Μετὰ τὰς θεολογικὰς (περὶ ὧν προείρηται) τὴν πίστιν, τὴν ἐλπίδα, καὶ τὴν ἀγάπην, αἱ Κεφαλαιώδεις προέχουσι, τοῖς Χριστιανοῖς μάλιστα πρέπουσαι.

Τίνες ἀρεταὶ κεφαλαιώδεις ὀνομάζονται;

Αἱ καθάπερ πηγαὶ, καὶ κεφάλαια πᾶσαν τὴν καλοκαγαθίαν κρατοῦσαι.

Πόσαι εἰσὶν ἀρεταὶ κεφαλαιώδεις;

Τέσσαρες, φρόνησις, δικαιοσύνη, Σωφροσύνη, ἀνδρεία, αἷς ὁ ἄνθρωπος τοῦ φρονίμως, δικαίως, Σωφρόνως, καὶ ἀνδρείως πάντα τὸν βίον διάγειν, καὶ τῷ Θεῷ ἀρέσκειν, ἐν Χριστῷ ἐφικνεῖται.

Τίνα δῶρα τοῦ ἁγίου πνεύματος λέγεται;

Τὰ ἑπτὰ, τὰ ἐπὶ τὸν Χριστὸν τοῦ Προφήτου μαρτυροῦντος ἀναπαυσάμενα, καὶ ἀπ' αὐτοῦ ὡς πηγῆς πάσης χάριτος εἰς ἄλλους ἀπορρέοντα, ἤγουν τὸ δῶρον Σοφίας, συνέσεως, βουλῆς, γνώσεως, ἰσχύος, εὐσεβείας, καὶ φόβου Θεοῦ.

Τίνες οἱ καρποὶ οἱ τοῦ πνεύματος καλούμενοι;

Οἵδε, οὓς εὐσεβεῖς κατὰ τὸ πνεῦμα ζῶντες ἐργάζονται, καὶ οἷς οἱ πνευματικοὶ, καὶ οἱ σαρκικοὶ διακρίνονται.

Τίνες οἱ τοῦ πνεύματος καρποί;

Τῷ Παύλῳ ἀποστόλῳ οὕτω καταλέγονται· ἀγάπη, χαρὰ, εἰρήνη, ὑπομονὴ, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πραότης, πίστις, σωφροσύνη, ἐγκράτεια, ἁγνεία.

Τίνες μακαρισμοὶ εὐαγγελικοὶ λέγονται;

Δι' οὓς ἐν εὐαγγελίῳ ταλαίπωροι πάντως, καὶ δυστυχεῖς δοκοῦντες, μακάριοι καὶ εὐδαίμονες ἀποφαίνονται.

Πόσοι μακαρισμοὶ εὐαγγελικός;

Ὀκτὼ, οὓς ὁ Χριστὸς ἐν τῷ ὄρει τοῦτον τρόπον ἐδίδαξε.

Μακά-

I.



Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

II.



Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακά-

III.



Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

IIII.



Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μακά-

Π.



Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

ΠΙ.



Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι τὸν θεὸν ὄψονται.

Μακά-

ΠII.



Μακάειοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ ὑοὶ θεῦ κληθή-
σονται.

Ma-

ΠΙΙΙ.



Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Τίνες

Τίνες βουλαὶ εὐαγγελικαὶ καλοῦνται;

Ἤγουν, ἅτινας δι' εὐαγγελίου οὐ μὲν ὡς ἀναγκαίας τῇ σωτηρίᾳ, ἀλλ' ὡς τοῖς ἀποδεχομένοις ἐπιτηδειοτέρας καὶ χρησιμωτέρας ὁ Χριστὸς οὐ μὲν ἐπιτάττων, συμβουλεύων δὲ προέθη.

Πόσαι βουλαὶ εὐαγγελικαί;

Τρεῖς ἔξοχοι.

Δῆπου.

Πενία

I.



Πενία ἑκουσία.

Αγνεία

II.



Ἀγνεία ἀΐδιος.

Ὑπακοὴ

III.



Ὑπακοὴ τελεία, ἡ διὰ τὸν θεὸν τῷ ἀνθρώπῳ εὐσεβῶς παρεχομένη.

Τίνα

Τίνα τὰ τοῦ ἀνθρώπου ἔσχατα
λέγεται;

Τὰ τῷ ἀνθρώπῳ τὸ τελευταῖον συμβαίνοντα,
οἷον·

K   Ὁ θάνα-

I.



Ο θάνατος.

Ἡ κρί-

II.



Η κρίσις.

III.



Ο ᾅδης.

IIII.



Καὶ ἡ ἐπουράνιος δόξα.

περὶ ὧν οὕτως ὁ σοφὸς διδάσκει·

Ἐν πᾶσι λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

Ετυπώθη ἐν τῇ Αὐγούστῃ παρὰ τῷ Χριστοφόρῳ Μάγγῳ.

αχιγ΄.

Τῇ τῆς σελίδος οὐδ' ἀρχῇ παρόντες,
ποσαπλάσιόν ἐστι τὸ πρακτικόν;

Venduntur Augustæ à Iohanne Krugero Bibliopola.


IHS
BENEFICENTIAE. ET COMMVN: NOLITE. OBLIVISCI.